καὶ τοῖς γείτοσίν μου σφόδρα
καὶ φόβος τοῖς γνωστοῖς μου,
οἱ θεωροῦντές με ἔξω ἔφυγον ἀπ᾽ ἐμοῦ.
13 ἐπελήσθην ὡσεὶ νεκρὸς ἀπὸ καρδίας,
ἐγενήθην ὡσεὶ σκεῦος ἀπολωλός.
14 ὅτι ἤκουσα ψόγον πολλῶν παροικούντων κυκλόθεν·
ἐν τῷ ἐπισυναχθῆναι αὐτοὺς ἅμα ἐπ᾽ ἐμὲ
τοῦ λαβεῖν τὴν ψυχήν μου ἐβουλεύσαντο.
15 ἐγὼ δὲ ἐπὶ σὲ ἤλπισα, κύριε·
εἶπα Σὺ εἶ ὁ θεός μου.
16 ἐν ταῖς χερσίν σου οἱ καιροί μου·
ῥῦσαί με ἐκ χειρὸς ἐχθρῶν μου
καὶ ἐκ τῶν καταδιωκόντων με.
17 ἐπίφανον τὸ πρόσωπόν σου ἐπὶ τὸν δοῦλόν σου,
σῶσόν με ἐν τῷ ἐλέει σου.
18 κύριε, μὴ καταισχυνθείην, ὅτι ἐπεκαλεσάμην σε·
αἰσχυνθείησαν οἱ ἀσεβεῖς καὶ καταχθείησαν εἰς ᾅδου.
19 ἄλαλα γενηθήτω τὰ χείλη τὰ δόλια
τὰ λαλοῦντα κατὰ τοῦ δικαίου ἀνομίαν
ἐν ὑπερηφανίᾳ καὶ ἐξουδενώσει.
20 ὡς πολὺ τὸ πλῆθος τῆς χρηστότητός σου, κύριε,
ἧς ἔκρυψας τοῖς φοβουμένοις σε,
ἐξειργάσω τοῖς ἐλπίζουσιν ἐπὶ σὲ
ἐναντίον τῶν υἱῶν τῶν ἀνθρώπων.
21 κατακρύψεις αὐτοὺς ἐν ἀποκρύφῳ τοῦ προσώπου σου ἀπὸ
ταραχῆς ἀνθρώπων,
σκεπάσεις αὐτοὺς ἐν σκηνῇ ἀπὸ ἀντιλογίας γλωσσῶν.
22 εὐλογητὸς κύριος, ὅτι ἐθαυμάστωσεν τὸ ἔλεος αὐτοῦ ἐν πό-
λει περιοχῆς.
23 ἐγὼ δὲ εἶπα ἐν τῇ ἐκστάσει μου
Ἀπέρριμμαι ἄρα ἀπὸ προσώπου τῶν ὀφθαλμῶν σου.
διὰ τοῦτο εἰσήκουσας τῆς φωνῆς τῆς δεήσεώς μου
ἐν τῷ κεκραγέναι με πρὸς σέ.
24 ἀγαπήσατε τὸν κύριον, πάντες οἱ ὅσιοι αὐτοῦ,
ὅτι ἀληθείας ἐκζητεῖ κύριος
καὶ ἀνταποδίδωσιν τοῖς περισσῶς ποιοῦσιν ὑπερηφανίαν.
25 ἀνδρίζεσθε, καὶ κραταιούσθω ἡ καρδία ὑμῶν,

$14^{2}$ επισυναχθ.] επι > B || $15^{1}$ σε] σα (sic) B†, σοι A | ηλπισα κυριε] tr. A || $16^{1}$ καιροι La†] κληροι rel.: cf. 4 8 Iud. 21 22 || $18^{2}$ οι > A || $19^{1}$ γενηθητωσαν B || $20^{1}$ κυριε > S | $20^{3}$ σε] σοι A || $21^{1}$] pr. και A | αποκρυφοις S† | ανθρωπου S† || $23^{2}$ αρα > A | προσωπου > S† | $23^{3}$ εισηκ.] + κυριε B || $24^{2}$ οτι > S† | κυριος] pr. ο A†

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41624694X/33 UNIVERSITÄT LEIPZIG